
28/12/2025

Το Αποστολικό Ανάγνωσμα της Κυριακής μετά την Χριστού Γέννησιν

/ Ορθόδοξες Προβολές



Το Αποστολικό Ανάγνωσμα της Κυριακής μετά την Χριστού Γέννησιν: Γαλ. α΄ 11-19 (28-12-2025)

Ἀδελφοί, γνωρίζω δὲ ὑμῖν, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ’ ἐμοῦ ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ οὔτε ἐδιδάχθην, ἀλλὰ δι’ ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ’ ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐπόρθουν αὐτήν, καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν

ὑπέστρεψα εἰς Δαμασκόν. Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε· ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

Μετάφραση

Ἀδελφοί, σᾶς δηλώνω, ὅτι τό εὐαγγέλιο πού κήρυξα δέν εἶναι ἐπινόηση ἀνθρώπου· γιατί οὔτε ἐγώ τό παρέλαβα ἤ τό διδάχθηκα ἀπό κάποιον ἄνθρωπο, ἀλλά μοῦ τό ἀποκάλυψε ὁ Ἰησοῦς Χριστός. Ἀσφαλῶς, θά ἔχετε ἀκούσει γιά τή συμπεριφορά μου στό παρελθόν, ὅταν ἀνῆκα στήν ἰουδαϊκή θρησκεία, ὅτι καταδίωκα μέ πάθος τήν ἐκκλησία τοῦ Θεοῦ καί προσπαθοῦσα νά τήν ἐξαφανίσω, καί προόδευα στόν Ἰουδαϊσμό περισσότερο ἀπό πολλούς ἄλλους συνομήλικους ὁμοεθνεῖς μου, ἐπειδή εἶχα μεγαλύτερο ζῆλο γιά τίς παραδόσεις τῶν πατέρων μου. Ὅταν ὅμως εὐαρεστήθηκε ὁ Θεός, ὁ ὁποῖος μέ εἶχε ξεχωρίσει ἀπό τήν κοιλιά τῆς μητέρας μου, καί μέ κάλεσε μέ τή χάρη του νά μοῦ ἀποκαλύψει τόν Υἱό του, νά τόν κηρύσσω μέ τό εὐαγγέλιο στούς εἰδωλολάτρες, δέν ἔσπευσα νά συμβουλευθῶ κανέναν ἄνθρωπο, οὔτε ἀνέβηκα στά Ἱεροσόλυμα νά συναντήσω τούς πρίν ἀπό μένα ἀποστόλους, ἀλλά ἀναχώρησα στήν Ἀραβία, καί ξαναγύρισα στή Δαμασκό. Κατόπιν, μετά ἀπό τρία χρόνια, ἀνέβηκα στά Ἱεροσόλυμα, νά γνωρίσω τόν Πέτρο καί ἔμεινα κοντά του δεκαπέντε ἡμέρες. Ἄλλον ὅμως ἀπό τούς ἀποστόλους δέν εἶδα, ἐκτός ἀπό τόν Ἰάκωβο, τόν ἀδελφό τοῦ Κυρίου.

(Ἀπό τή νέα ἔκδοση: Ἡ Καινή Διαθήκη, τό πρωτότυπο κείμενο μέ νεοελληνική ἀπόδοση τοῦ ὁμοτ. καθηγ. Χρ. Βούλγαρη, ἔκδ. ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ)